UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXXI. De Manichaeorum errore qui tunc primùm exortus est.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

A τοιωσδὲ περὶ ἡμᾶς ὁ Αὐρηλιανὸς προϊόντος δ' αὐτῷ τῆς ἀρχῆς, ἀλλοῖόν τι περὶ ἡμῶν φρονήσας, ἤδη τισὶ βουλαῖς ὡς ἂν διωγμὸν καθ' ἡμῶν ἐγείρειεν ἀνεκινεῖτο· πολύς τε ἦν ὁ παρὰ πᾶσι περὶ τούτου λόγος. μέλλοντα δὲ ἤδη καὶ σχεδὸν εἰπεῖν τοῖς καθ' ἡμῶν γράμμασιν ὑποσημειούμενον, θεία μέτεισιν δίκη. μονονουχὶ ἐξ ἀγκώνων τῆς ἐγχειρήσεως αὐτὸν ἀποδεσμοῦσα. λαμπρῶς τε τοῖς πᾶσι συνορᾶν παριστῶσα, ὡς οὔποτε γένοιτ' ἂν ῥᾳστώνη τοῖς τοῦ βίου ἄρχουσι κατὰ τῶν τοῦ Χριστοῦ ἐκκλησιῶν, μὴ οὐχὶ τῆς ὑπερμάχου χειρὸς θείᾳ καὶ οὐρανίῳ κρίσει, B παιδείας ἕνεκα καὶ ἐπιστροφῆς, καθ' οὓς ἂν αὐτὴ δοκιμάζοι καιρούς, τοῦτ' ἐπιτελεῖσθαι συγχωρούσης. ἔτεσι γοῦν ἓξ κρατήσαντα τὸν Αὐρηλιανόν, διαδέχεται Πρόβος· καὶ τοῦτον δήπου τοῖς ἴσοις ἐπικαλαχόντα, Κάρος ἅμα τοῖς παισὶ Καρίνῳ καὶ Νουμεριανῷ διαδέχεται· πάλιν τ' αὖ καὶ τούτων οὐδ' ὅλοις τρισὶν ἐνιαυτοῖς διαγενομένων, μέτεισι τὰ τῆς ἡγεμονίας εἰς Διοκλητιανὸν καὶ τοὺς μετ' αὐτὸν εἰσποιηθέντας· ἐφ' ὧν ὁ καθ' ἡμᾶς συντελεῖται διωγμός, καὶ C ἡ κατ' αὐτὸν τῶν ἐκκλησιῶν καθαίρεσις. ἀλλὰ γὰρ μικρῷ τούτου πρότερον τὸν ἐπὶ Ῥώμης Ἐπίσκοπον Διονύσιον ἔτεσιν ἐννέα διελθόντα τὴν λειτουργίαν, διαδέχεται Φῆλιξ.

A sic affectus erat Aurelianus. Processu verò temporis aliter de nobis sentiens, quorumdam consiliis cœpit impelli ut persecutionem adversus nostros commoveret. Jamque ea de re multus ubique rumor spargebatur. Sed eum paratum jam, & compositis contra nos edictis ut ita dixerim subscribentem, ulta est divina justitia: quasi constricto cubito conatum ejus reprimens: simulq; omnibus apertissimè ostendens, nihil unquam hujus mundi principibus adversus Christi ecclesias licere, nisi propugnatrix Dei dextera arcano quodam B ac cælesti judicio ad castigationem & emendationem nostram, quibus ipsi visum est temporibus id fieri permiserit. Porrò cùm Aurelianus sexennio Imperium tenuisset, in ejus locum successit Probus. Qui totidem annis Imperii administratione perfunctus, Carum cum Carino & Numeriano filiis successorem reliquit. Hi cùm ne triennium quidem in Principatu explessent, rerum summa delata est Diocletiano, iisque qui postea ad Imperii societatem adsciti sunt. Quorum tem- C poribus maxima illa nostrorum persecutio, simulque ecclesiarum eversio perpetrata est. Ceterùm paulò ante hæc tempora mortuo Dionysio qui novem annis Romanæ urbis episcopatum administrarat, Felix in ejus locum substitutus est.

## ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Περὶ τῆς τῶν Μανιχαίων ἑτεροδόξου διαστροφῆς ἄρτι τότε ἀρξαμένης.

ΕΝ τούτῳ καὶ ὁ Μανεὶς τὰς φρένας, ἐπώνυμός τε τῆς δαιμονιώσης αἱρέσεως, τὴν τοῦ λογισμοῦ παρατροπὴν καθωπλίζετο. τοῦ δαίμονος αὐτοῦ δήπου τοῦ θεομάχου Σατανᾶ ἐπὶ D λύμῃ πολλῶν τὸν ἄνδρα προβεβλημένου. βάρβαρος δῆτα τὸν βίον αὐτῷ λόγῳ καὶ τρόπῳ, τήν τε φύσιν δαιμονικός τις ὢν καὶ μανιώδης· ἀκόλουθα τούτοις ἐγχειρῶν, Χριστὸν αὐτὸν μορφάζεσθαι ἐπειρᾶτο. τοτὲ μὲν τὸν παράκλητον καὶ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον αὐτὸς ἑαυτὸν ἀνακηρύττων, καὶ τυφούμενός γε ἐπὶ τῇ μανίᾳ. τοτὲ δ' οἷα Χριστὸς, μαθητὰς δώδεκα κοινωνοὺς τῆς καινοτομίας αἱρούμενος. δόγματα γε μὴν ψευδῆ καὶ ἄθεα ἐκ μυρίων τῶν πρόπαλαι ἀπεσβηκυιῶν αἱρέσεων συμπεφορημένα καττύσας, ἐκ τῆς Περσῶν ἐπὶ τὴν καθ' ἡμᾶς οἰκουμένην

## Caput XXXI.

*De Manichæorum errore qui tunc primum exortus est.*

ISdem temporibus ille meritò dictus Manes, id est, furiosus, qui dæmoniacam hæresim nominis sui condidit; armatus insania, ab adversario Dei Sa- D tana ad multorum hominum perniciem productus est. Hic in universa vivendi ratione cùm sermone ipso tum moribus barbarus, & suapte natura furiosus ac dæmoniacus; his consentanea aggressus, seipsum Christum fingere instituit. Et nunc quidem Paracletum se, ipsumque Spiritum sanctum esse prædicabat: præter insaniam superbia etiam elatus. Nunc verò quasi Christus, duodecim discipulos novi dogmatis consortes eligebat. Cum igitur falsa & impia dogmata ex variis hæresibus jampridem exstinctis hinc inde collecta consarcinasset, ea tanquam lethale quoddam virus ex Perside

Huc refer Niceph. l. 6. c. 31. 32.



UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

in orbem Romanum effudit. Ex quo impium Manichæorum nomen exortum; multis in locis ad hunc usque diem exuberat. Ejusmodi fuit origo adulterinæ illius doctrinæ, quæ suprà memoratis temporibus emersit.

A ὥσπερ τινὰ θανατηφόρον ἰὸν ἐξωμόρξατο· ἀφ' οὗ δὴ τὸ Μανιχαίων δυσσεβὲς ὄνομα, τοῖς πολλοῖς εἰσέτι νῦν ἐπιπολάζει. τοιαύτη μὲν οὖν ἡ καὶ τῆσδε τῆς ψευδωνύμου γνώσεως ὑπόθεσις, κατὰ τοὺς δεδηλωμένους ὑποφυεῖσα χρόνους.

## Caput XXXII.

*De viris ecclesiasticis qui nostra ætate floruerunt, & quinam ex ipsis usque ad eversionem ecclesiarum superfuerint.*

Huc refer Niceph. l. 6. c. 34. 35. 36. 37.

Qua tempestate cùm Felix quinque annis Romanam gubernasset ecclesiam, Eutychianus in ejus locum successit. Qui vix decem mensibus in episcopatu transactis, Caïo qui nostra ætate vixit, sedem suam reliquit. Hic cùm annis circiter quindecim ecclesiæ præfuisset, successorem habuit Marcellinum: in cujus etiam tempora incidit persecutio. Iisdem temporibus Antiochenæ ecclesiæ post Domnum Timæus præfuit: cui successit nostra memoria Cyrillus. Sub hoc Dorotheum virum doctissimum, Antiochenę tunc ecclesię Presbyterum cognovimus. Qui cum studiosissimus esset sacrarum Scripturarum, Hebraïcam quoque linguam addidicit, adeout ipsos etiam Hebraïcos Codices peritissimè legeret. Erat hic ingenio admodum liberali, & humanioribus disciplinis apprimè eruditus: Ceterùm ab ipso matris utero Eunuchus. Unde & Imperator tanquam miraculo obstupefactus, eum in familiaritatem suam adscivit, & baphii quod est apud Tyrum Procuratorem constituit. Hunc nos sacras Scripturas in Ecclesia non inscitè exponentem audivimus. Post Cyrillum Tyrannus episcopatum Antiochensis ecclesiæ suscepit: cujus tempore Ecclesiarum vastatio maximè viguit. Apud Laodiceam verò post Socratem episcopus fuit Eusebius, domo Alexandrinus. Causam ex patria migrandi ei præbuit negotium Pauli Samosatensis. Cujus gratiâ cum in Syriam venisset, ab iis qui cælestium rerum amore illic flagrabant detentus, domum redire prohibitus est. Qui quidem nostra memoria amabilis quidam religionis thesaurus fuit, quemadmodum ex verbis etiam Dionysii superiùs allatis facilè cognosci potest. Huic deinde substitutus est Anatolius, bonus quod ajunt boni viri successor: ipse quoque domo Alexandrinus. Hic tum in liberalibus disci-

## ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Περὶ τῶν καθ' ἡμᾶς αὐτοὺς διαπρεψάντων ἐκκλησιαστικῶν ἀνδρῶν· τίνες τε αὐτῶν μέχρι τῆς τῶν ἐκκλησιῶν πολιορκίας ἔμειναν.

Καθ' οὓς Φήλικα τῆς Ῥωμαίων προεστῶτα ἐκκλησίας ἔτεσι πέντε, Εὐτυχιανὸς B διαδέχεται· οὐδ' ὅλοις δὲ μησὶν οὗτος δέκα διαγενόμενος, Γαΐῳ τῷ καθ' ἡμᾶς καταλείπει τὸν κλῆρον. καὶ τούτου δ' ἀμφὶ τὰ πεντεκαίδεκα ἔτη προστάντος, Μαρκελλῖνος καθίσταται διάδοχος. ὃν καὶ αὐτὸν ὁ διωγμὸς κατείληφε. κατὰ τούσδε τῆς Ἀντιοχέων ἐπισκοπῆς μετὰ Δόμνον ἡγήσατο Τίμαιος· ὃν ὁ καθ' ἡμᾶς διεδέξατο Κύριλλος. καθ' ὃν Δωρόθεον πρεσβείου τοῦ κατὰ Ἀντιόχειαν ἠξιωμένον τῇ τηνικάδε λόγιον ἄνδρα ἔγνωμεν. φιλόκαλος δ' οὗτος C περὶ τὰ θεῖα γεγονώς, καὶ τῆς Ἑβραίων ἐπεμελήθη γλώττης. ὡς καὶ αὐταῖς ταῖς Ἑβραϊκαῖς γραφαῖς ἐπιστημόνως ἐντυγχάνειν. ἦν δ' οὗτος τῶν μάλιστα ἐλευθερίων, προπαιδείας τε τῆς καθ' Ἕλληνας οὐκ ἄμοιρος· τὴν φύσιν δ' ἄλλως εὐνοῦχος, οὕτω πεφυκὼς ἐξ αὐτῆς γενέσεως· ὡς καὶ βασιλέα διὰ τοῦτο οἷόν τι παράδοξον αὐτὸν οἰκειώσασθαι, καὶ τιμῆσαί γε ἐπιτροπῇ τῆς κατὰ Τύρον ἁλουργοῦ βαφῆς. τούτου μετρίως τὰς γραφὰς ἐπὶ τῆς ἐκκλησίας διηγουμένου κατηκούσαμεν. μετὰ δὲ Κύριλλον Τύραννος τῆς Ἀντιοχέων παροικίας τὴν ἐπισκοπὴν διεδέξατο. καθ' ὃν ἤκμασεν ἡ τῶν ἐκ- D κλησιῶν πολιορκία. τῆς δ' ἐν Λαοδικείᾳ παροικίας ἡγήσατο μετὰ Σωκράτην Εὐσέβιος, ἀπὸ τῆς Ἀλεξανδρέων ὁρμηθεὶς πόλεως. αἰτία δ' αὐτῷ τῆς μεταναστάσεως ὑπῆρξεν ἡ κατὰ τὸν Παῦλον ὑπόθεσις. δι' ὃν τῆς Συρίας ἐπιβάς, πρὸς τῶν τῇδε περὶ τὰ θεῖα ἐσπουδακότων, τῆς οἴκαδε πορείας εἴργεται. ἐπέραστόν τι θεοσεβείας χρῆμα τῶν καθ' ἡμᾶς γενόμενος, ὡς ἤδη καὶ ἀπὸ τῶν παρατεθεισῶν Διονυσίου φωνῶν διαγνῶναι ῥᾴδιον. ἀνατόλιος αὐτῷ διάδοχος, ἀγαθός, φασιν, ἀγαθοῦ, καθίσταται· γένος μὲν καὶ αὐτὸς Ἀλεξανδρεύς. λόγων δ' ἕνεκα καὶ παιδείας τῆς